Σχόλια. Ἀλωπεκίζειν.] πανουργεῖν. κολακεύειν. οὐδὲν δὲ τοῦτο πρὸς τὸ σκολιὸν τὸ εἰρημένον ὑπὸ Θεώρου. ἀλλ᾽ ὡς κόλακα διαβάλλει αὐτόν. Ἀνὴρ σοφός.] ὡς εἰ μὴ σοφὸς, οὐδὲ μουσικός.

BISETVS. Χρήματα] καὶ τοῦτο σκολιοῦ τινος ἀρχή.

CHRIST. Ἀνὴρ σοφὸς καὶ μουσ.] Per Ironiã ista, vel, Tam sapiems & doctus quàm Musicus & cantor. Sunt autem tres sequentes versus Dactylici è cantilena vel scolio vulgato quod Clitagora dicebatur, vt Harmodij melos quod in Harmodiũ.

A & Admeti quod in Admetum, & de ipsa Clitagora canebatur quæ Thessala fuit & poetria, quod melos vel scolion factum videtur eo tẽpore quo Thessali Athenienses copiis socialibus auxerunt in bello quod contra Hippiam & Pisistratidas tyrannos gesserunt.

Σχόλια. Κλειταγόρᾳ τε.] Κλειταγόρα μέλος, τὸ εἰς αὐτὴν Κλειταγόραν ἥτις ἐγένετο ποιήτρια Θετταλή τις

B γυνή. Ἁρμοδίου μέλος τὸ εἰς Ἁρμόδιον. καὶ Ἀδμήτου τὸ εἰς Ἄδμητον. ἐκ σκολιοῦ τινός ἐστιν Ἀθηναίοις, Θετταλοὶ συνεμάχησαν ἐν τῷ πρὸς τοὺς τυράννους πολέμῳ.

Φι. Πολλὰ δὲ διεκόμισας σύ τε κἀγώ.
Βδε. Τουτὶ μὲν ἐπιεικῶς σύ γ᾽ ἐξεπίστασαι.
Φι. Ὅπως δ᾽ ἐπὶ δεῖπνον εἰς Φιλοκτήμονος
ἴμεν,
Παῖ παῖ, τὸ δεῖπνον Χρυσὲ συσκεύαζε νῷν.
Ἵνα καὶ μεθυσθῶμεν διὰ χρόνου. Φι. Μηδαμῶς,
Κακὸν τὸ πίνειν. ἀπὸ γὰρ οἴνου γίνεται.
Καὶ θυροκοπῆσαι καὶ πατάξαι καὶ βαλεῖν·
Κἄπειτ᾽ ἀποτίνειν ἀργύριον ἐκ κραιπάλης.
Βδε. Οὔκ, ἢν ξυνῇς ἀνδράσι καλοῖς τε κἀγα-
Ἢ γὰρ παρῃτήσαντο τὸν πεπονθότα, (θοῖς.
Ἢ λόγον ἔλεξας αὐτὸς ἀστεῖόν τινα,
Αἰσωπικὸν γέλοιον ἢ Συβαριτικὸν,
Ὧν ἔμαθες ἐν τῷ συμποσίῳ. κᾆτ᾽ ἐς γέλων
Τὸ πρᾶγμ᾽ ἔτρεψας ὥς ἀφείς σ᾽ ἀποίχεται.
Φι. Μαθητέον γ᾽ ἄρ᾽ ἐστὶ πολλοὺς τῶν λόγων.
Εἴπερ γ᾽ ἀποτίσω μηδὲν, ἤν τι δρῶ κακόν.
Ἄγε νυν ἴωμεν μηδὲν ἡμᾶς ἰσχέτω.

*PH. Multa tamen extuleras túque egóque.*
*BD. Hoc tu quidem scis, scire si quisquã potest.*
*PH. Ad cœnam eundum quam Philoctemon*
*parat,*
*Puer parato Chryse nostram symbolam*
*Vt inebriemur, iamdiu hoc factum est, tamen*
*Potasse valde noxium est, vinum facit*
C *Pultare ianuam & fores confringere,*
*Tum pendere æra post solutam crapulam.*
*BD. Non si cum honestis & bonis res sit viris*
*Nam flore læsos liberi excusant facul*
*Aut fortè verbum si facetum dixeris*
*Æsopicum ioculare vel Sybariticum*
*Conuiuia inter læta sumptum, & moueris*
*Risum, facessent teque mittent protinus.*
D *PH. Mihi ergo dicta plurima ediscenda sunt,*
*Si non luenda est pœna commissi mali.*
*Age nunc eamus nulla sit nobis mora.*

Σχόλια. Πολλὰ δὲ διεκόμισας.] τοῦτό φησιν ἐπάξω πρὸς τὸ σκολιὸν Αἰσχίνου, ἐπεὶ κομπαστὴς ἦν.

CHRIST. Πολλὰ δὲ διεκόμισας] Ad scolion inquit, quod incipit χρήματα, hoc etiam addam, multas nempe pecunias importasti, tuque & ego, Erat ille Æschines magnus & falsus iactator, qui propterea, vt diximus, dictus καπνός. Est autẽ ἐπιεικῶς positum pro πάνυ, quam loquendi rationem etiam Gallo-Franci frequẽtamus. Dicimus enim sic *Il y en a honestement*, id est admodũ & adfatim.

Σχόλια. Εἰς Φιλοκτήμονος.] Φιλοκτήμων ἄσωτος ἦν καὶ συνεχῶς δεῖπνα ἐποίει. Τὸ δεῖπνον Χρυσέ] μεταβαλεῖν θέλει τοὺς τρόπους τὸν πρεσβύτην. εἰ δέ που τὶς ἐκαλεῖτο εἰς ἄριστον ἢ εἰς δεῖπνον, τὸ ἄριστον ἢ τὸ δεῖπνον ἑαυτοῦ ἔφερε. τὸ ὄνομα δὲ τοῦ θεράποντος Χρυσός. πατάξαι γράφεται καὶ καταράξαι ἀντὶ τοῦ καταβαλεῖν τὴν θύραν.

BISETVS. Κακὸν τὸ πίνειν] Θέογνις,
Οἶνόν τοι πίνειν πουλὺν, κακόν. ἢν δέ τις αὐτὸν
Πίνῃ ἐπισταμένως, οὐ κακὸς, ἀλλ᾽ ἀγαθός.
Ἄφρονος οἶνος ὁμῶς, καὶ σώφρονος οἶνος. ὅταν δὴ
Πίνεθ᾽ ὑπὲρ μέτρον, κοῦφον ἔθηκε νόον.
Ἐν πυρὶ μὲν χρυσόν τε, καὶ ἄργυρον ἴδριες ἄνδρες
Γινώσκουσ᾽. ἀνδρὸς δ᾽ οἶνος ἔδειξε νόον.

Ἢν ξυνῇς] καὶ γὰρ κατὰ παροιμίαν, ἐὰν χωλῷ ξυνείης, χωλεύειν μαθήσῃ. διὸ καὶ Αἰσχύλος ἐν ἑπτὰ ἐπὶ Θήβαις καλῶς λέγει,
Ἐν παντὶ πράγει δ᾽ ἔσθ᾽ ὁμιλίας κακῆς
Κάκιον οὐδὲν, καρπὸς οὐ κομιστέος.
Ἄτης ἄρουρα θάνατον ἐκκαρπίζεται.
Ἢ γὰρ ξυνεισβὰς πλοῖον εὐσεβὴς ἀνὴρ,
Ναύτῃσι θερμοῖς, καὶ πανουργίᾳ τινὶ
Ὄλωλεν ἀνδρῶν σὺν θεοπτύστῳ γένει.

Ἢ πολίταις ἀνδράσιν, δίκαιος ὢν,
Ἐχθροξένοις τὲ, καὶ θεῶν ἀμνήμοσι
Ταυτοῦ κυρήσας ἐνδίκως ἀγρεύματος,
Πληγεὶς θεοῦ μάστιγι παγκοίνῳ δάμη.
Τοὐναντίον δὲ συμβαίνει ὅταν τοῖς καλοῖς, κἀγαθοῖς
E ξυνείης.

CHRIST. Διὰ χρόνου] Videtur distinguendũ post χρόνου, tũ post μηδαμῶς, vt sit velut correctio animi ebrietatem meditantis & ex incommodis contingentibus vinum culpãtis. Est autẽ hæc sententia velut preparatio ad Catastropham, Nã hic senex temulẽtior, miros postea ludos dedit. Cæterum Chrysus hic est pueri vel seruuli nomen, vt apud Palliatam Terentij Chrysis. Apud Ithyphallicos & obscœnos scriptores legitur, aureus puer,
F sed neq; puer est illic seruus, (potius enim ephebus & ad ætatẽ nõ ministeriũ refertur) & τὸ aureus, pulcrum tantũ significat, vt sæpè purpureus.

Σχόλια. Παρῃτήσαντο.] παρεμυθήσαντο ἢ ἐρρύσαντο τῆς δίκης, καὶ ἀπέλυσαν τῆς αἰτίας: καὶ παρῃτεῖτο ἀντὶ τοῦ ἐλιπάρει παρεκάλει παρ᾽ Ἡροδότῳ. ὁ δὲ ἐλθὼν παρῃτεῖτο τὸν Πέρσην. τυγχάνων δὲ οὐδενὸς ὧν ἐδέετο, αὐτὸς ἔλυσεν.

CHRIST. Παρῃτήσαντο] Id est alloquio leni-bant & consolabantur patientem vel liberabant
G culpa, ita vt qui læsus est, cogeretur sic delinitus & ridiculis tuis iocis affectus culpam condonare & sine studio vleiscendi discedere, hoc enim volunt sequentia verba ἀφείς σ᾽ ἀποίχεται. Sic Herodotus dixit παρῃτεῖτο τὸν πέρσην. τυγχάνων δὲ οὐδενὸς ὧν ἐδέετο, αὐτὸς ἔλυσεν. id est ἐλιπάρει, vel παρεκάλει.

Σχόλια.